eul_wid: aqo-am

*Αἴσωπος ὁ μυθολόγος* · Aesop the Fabulist

# Proverbs

*Μῦθοι*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects
**Domain:** *Μυθιστορία* Fiction
**Format:** *Πεζός* Prose

1 ΠΑΡΟΙΜΙΑΙ ΑΙΣΩΠΟΥ Ἄνευ χαλκοῦ Φοῖβος οὐ μαντεύεται : τὴν ἰσχὺν τοῦτο σημαίνει τῶν δωρεῶν.

2 Ἔνθεν ἐκεῖθεν οὐαὶ, οἷς περιστοιχίζεται κακά.

3 Ἔσται καὶ χωλῶν δρόμος : τὸ ἄδηλον δηλοῖ.

4 Ζητῶν Ἑρμῆν γλύψαι Κέρκοπα ἔγλυψα.

5 Ἢ Ζεὺς ἢ Χάρων : ἢ εὐδαίμονος βίος ἢ τέλος.

6 Μακρὰς ἐλπίδας μισ ῶ .

7 Ὁ ἐγγὺς Διό ς , ἐγγὺς κεραυνοῦ.

8 Οὐδεὶς καιρὸν βαστάσας ἐξέβη κυρτός.

10 Ποῦ γὰρ ἡ Ἄρτεμις οὐκ ἐχόρευσεν; Ἐξ ἄμμου σχοινίον πλέκει ν .

11 Στρογγύλα λέγ ε , ἵνα καὶ κυλίηται.

12 Τὸν ἀτυχῆ καὶ πρόβατον δάκνει.

13 Ὃν ἡ τύχη προπηλακίζει, καὶ πάντων πραγμάτων μάστιγας εὑρίσκει.

14 Τὰ προλήμματα νικήματ α .

15 Φαγέτω με λέων καὶ μὴ ἀλώπη ξ .

16 Δυστυχείτω καὶ λοιδορείτω μ ε .

17 Παρὰ τοῦτο τὸ ὑπόδημα ἔῤῥαψε μὲν Ἱστιαῖος, ὑπε δύσατο δ’ Ἀρισταγόρας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org